In this passage, the Old Oligarch expresses his disapproval of Athenian democracy.

ἔπειτα δὲ ὃ ἔνιοι θαυμάζουσιν ὅτι οἱ Ἀθηναῖοι πανταχοῦ
everywhere

πλέον νέμουσι τοῖς πονηροῖς καὶ πένησι καὶ δημοτικοῖς ἢ
assign

τοῖς χρηστοῖς, ἐν αὐτῷ τούτῳ φανοῦνται τὴν δημοκρατίαν

διασῴζοντες. οἱ μὲν γὰρ πένητες καὶ οἱ δημόται καὶ
preserving

οἱ χείρους εὖ πράττοντες καὶ πολλοὶ οἱ τοιοῦτοι

γιγνόμενοι τὴν δημοκρατίαν αὔξουσιν· ἐὰν δὲ εὖ πράττωσιν

οἱ πλούσιοι καὶ οἱ χρηστοί, ἰσχυρὸν τὸ ἐναντίον σφίσιν
opposition

αὐτοῖς καθιστᾶσιν οἱ δημοτικοί. ἔστι δὲ πάσῃ γῇ

τὸ βέλτιστον ἐναντίον τῇ δημοκρατίᾳ· ἐν γὰρ τοῖς βελτίστοις

ἔνεισιν ἀκολασία τε ὀλιγίστη καὶ ἀδικία, ἀκρίβεια δὲ πλείστη
lack of self-control care, concern

εἰς τὰ χρηστά, ἐν δὲ τῷ δήμῳ ἀμαθία τε πλείστη καὶ

ἀταξία καὶ πονηρία· ἥ τε γὰρ πενία αὐτοὺς μᾶλλον ἄγει
disorder poverty

ἐπὶ τὰ αἰσχρὰ, καὶ ἡ ἀπαιδευσία καὶ ἡ ἀμαθία δι' ἔνδειαν
shamefule acts lack of education a lack

χρημάτων ἐνίοις τῶν ἀνθρώπων. εἴποι δ' ἄν τις ὡς
resources some that

ἐχρῆν αὐτοὺς μὴ ἐᾶν λέγειν πάντας ἐξῆς μηδὲ βουλεύειν,
to allow on equal terms

ἀλλὰ τοὺς δεξιωτάτους καὶ ἄνδρας ἀρίστους. οἱ δὲ καὶ
(the Athenians)
ἐν τούτῳ ἄριστα βουλεύονται ἐῶντες καὶ τοὺς πονηροὺς
allowing
λέγειν. εἰ μὲν γὰρ οἱ χρηστοὶ ἔλεγον καὶ ἐβουλεύοντο,
τοῖς ὁμοίοις σφίσιν αὐτοῖς ἦν ἀγαθά, τοῖς δὲ δημοτικοῖς
οὐκ ἀγαθά· νῦν δὲ λέγων ὁ βουλόμενος ἀναστάς,
ἄνθρωπος πονηρός, ἐξευρίσκει τὸ ἀγαθὸν αὐτῷ τε καὶ
seek
τοῖς ὁμοίοις αὐτῷ. εἴποι τις ἄν, "τί ἂν οὖν γνοίη ἀγαθὸν αὑτῷ
ἢ τῷ δήμῳ τοιοῦτος ἄνθρωπος;" οἱ δὲ γιγνώσκουσιν ὅτι
ἡ τούτου ἀμαθία καὶ πονηρία καὶ εὔνοια μᾶλλον λυσιτελεῖ
support be of advantage
ἢ ἡ τοῦ χρηστοῦ ἀρετὴ καὶ σοφία καὶ κακόνοια. εἴη μὲν
ill-will
οὖν ἂν πόλις οὐκ ἀπὸ τοιούτων διαιτημάτων ἡ βελτίστη,
way of life
ἀλλ' ἡ δημοκρατία μάλιστ' ἂν σῴζοιτο οὕτως.

**Vocabulary**

ἡ ἀμαθία, ας: ignorance
βέλτιστος η ον: (the) best
βουλεύω: to take part in the Council
δεξιός ά όν: (the) clever
ἡ δημοκρατία, -ας: democracy
ὁ δημότης, -ου: a commoner, member of the populace
δημοτικός ή όν: (the) populist
ὁ πένης, -ητος: the poor
πλούσιος α ον: (the) wealthy
ἡ πονηρία, -ας: wickedness
πονηρός ά όν: (the) worst
ὁ χείρων, -ονος: (the) worse, inferior
χρηστός ή όν: (the) best